**0265-0339 - Eusebius Caesariensis - Epistula ad Constantiam Augustam**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2018 027 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Epistula ad Constantiam Augustam

[00001] Εὐσεβίου ἐπιστολὴ πρὸς Κωνσταντίαν τὴν βασίλισσαν.

[00002] Ἐπεὶ δὲ καὶ περί τινος εἰκόνος ὡς δὴ τοῦ Χριστοῦ γέγραφας, εἰκόνα βουλομένη σοι ταύτην ὑφ' ἡμῶν πεμφθῆναι·

[00003] τίνα λέγεις καὶ ποίαν ταύτην, ἣν φὴς τοῦ Χριστοῦ εἰκόνα;

[00004] Οὐκ οἶδα πόθεν αὐτὴ ὁρμηθεῖσα τοῦ Σωτῆρος ἡμῶν διαγράψαι εἰκόνα προστάττεις.

[00005] Ποίαν τοῦ Χριστοῦ εἰκόνα ἐπιζητεῖς;

[00006] Πότερον τὴν ἀληθῆ καὶ ἀμετάλλακτον, καὶ φύσει τοὺς αὐτοῦ χαρακτῆρας φέρουσαν·

[00007] ἢ ταύτην ἣν δι' ἡμᾶς ἀνείληφεν, τῆς τοῦ δούλου μορφῆς περιθέμενος τὸ σχῆμα;

[00008] Ὁ γὰρ τοῦ Θεοῦ Λόγος καὶ Θεὸς, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας τὴν ἁμαρτίαν κατέκρινεν, ᾗ φησιν ὁ θεῖος Ἀπόστολος.

[00009] Οὕτως ἡμᾶς τῆς παλαιᾶς πικρίας καὶ δαιμονικῆς δουλείας τῷ τιμίῳ αἵματι λυτρωσάμενος ἀπηλευθέρωσεν.

[00010] Δύο οὖν μορφῶν αὐτῷ παρισταμένων, περὶ μὲν τῆς τοῦ Θεοῦ μορφῆς οὐδὲ αὐτὸς ἡγοῦμαί σε ζητεῖν, ἅπαξ παρ' αὐτοῦ παιδευομένην, ὅτι οὔτε τὸν Πατέρα τις ἔγνω, εἰ μὴ ὁ Υἱὸς, οὐδ' αὐτὸν Υἱὸν γνοίη ποτέ τις ἐπαξίως, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν Πατήρ ...

[00011] Ἀλλὰ γὰρ πάντως τῆς τοῦ δούλου μορφῆς ἐπιζητεῖς, καὶ οὗ δι' ἡμᾶς περιεβλήθη σαρκίου.

[00012] Ἀλλὰ καὶ τοῦτο τῇ δόξῃ τῆς θεότητος ἀνακεχρᾶσθαι μεμαθήκαμεν, καὶ καταπεπόσθαι τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

[00013] Καὶ οὔ τί που θαυμαστὸν, εἰ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοιοῦτόν που πέφηνεν, ὁπότε καὶ ἐν ἀνθρώποις ἔτι βιοτεύων ὁ Θεὸς Λόγος, τοῖς ἐγκρίτοις τῶν ἑαυτοῦ λόγων προαῤῥαβωνιζόμενος τὴν θέαν τῆς αὐτοῦ βασιλείας, μεταβαλὼν τὴν τοῦ δούλου μορφὴν, αὐτὴν ἐκείνην ἐπὶ τοῦ ὄρους ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν ἐπιδέδεικται·

[00014] ὅτε τὸ μὲν πρόσωπον αὐτοῦ ἀπήστραψεν ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια ὡς τὸ φῶς.

[00015] Τίς οὖν τῆς τοσαύτης ἀξίας τε καὶ δόξης τὰς ἀποστιλβούσας, καὶ ἀπαστραπτούσας μαρμαρυγὰς οἷός τε ἂν εἴη καταχαράξαι νεκροῖς καὶ ἀψύχοις χρώμασι καὶ σκιογραφίαις, ὁπότε μηδὲ ἐμβλέψαι αὐτῷ, τοῦτον ὀφθέντι τὸν τρόπον, οἱ θεσπέσιοι ὑπέμειναν μαθηταὶ, οἵ γε ἔπεσον ἐπὶ πρόσωπον, ἀφόρητον αὐτοῖς τὸ θεώμενον ὁμολογήσαντες;

[00016] Εἰ δ' οὖν τότε ἡ ἐν σαρκὶ αὐτοῦ μορφὴ τοσαύτης ἔλαχε δυνάμεως, πρὸς τῆς ἐνοικούσης αὐτῇ θεότητος [20.1548] μεταβληθεῖσα, τί χρὴ λέγειν, ὅτε τὴν θνητότητα ἀποδὺς, καὶ τὴν φθορὰν ἀπονιψάμενος, τῆς τοῦ δούλου μορφῆς τὸ εἶδος εἰς τὴν τοῦ δεσπότου καὶ Θεοῦ δόξαν μετεσκευάσατο, μετὰ τὴν κατὰ τοῦ θανάτου νίκην, καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ μετὰ τὴν ἐν τῷ βασιλικῷ θρόνῳ ἀμφὶ τὰ δεξιὰ τοῦ Πατρὸς ἵδρυσιν, μετὰ τὴν ἐν τοῖς ἀκατονομάστοις καὶ ἀῤῥήτοις κόλποις τοῦ Πατρὸς ἀνάπαυσιν, εἰς ἣν ἀνιόντα καὶ ἀποκαθισάμενον αἱ οὐράνιαι δυνάμεις ἀνηυφήμουν, λέγουσαι·

[00017] Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

[00018] Οὐκοῦν καὶ ἡ τοῦ δούλου μορφὴ ἐν τοιούτοις γινομένη, ἐξόλων ὅλη μεταβέβληται ἐπὶ φῶς αὐτοῦ ἄῤῥητον καὶ ἀνεκδιήγητον, αὐτῷ τῷ Θεῷ Λόγῳ πρέπον φῶς, ὅπερ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη.

[00019] Πῶς οὖν τις τῶν ἀδυνάτων ἐφίκοιτο;

[00020] Πῶς δὲ τῆς οὕτω θαυμαστῆς, καὶ ἀλήπτου μορφῆς, εἴ γε χρὴ μορφὴν ἔτι καλεῖν τὴν ἔνθεον καὶ νοερὰν οὐσίαν, εἰκόνα τις ζωγραφήσειεν;

[00021] Εἰ μὴ τοῖς ἀπίστοις ἔθνεσιν ὁμοίως τὰ μηδαμῇ μηδαμῶς ἐοικότα ἑαυτῷ τις ἀναζωγραφήσειεν, ὥσπερ γραφεὺς μηδὲν ἐοικότα γράφων.

[00022] Τοιοίδε γὰρ κἀκεῖνοι ἀνειδωλοποιοῦντες ἤ ποτε Θεὸν, ὡς ἡγοῦνται, ἤ τινα ὡς ἂν φαῖεν ἡρώων, ἤ τι τῶν τοιούτων πλάττειν καὶ ἀπεικάζειν ἐθέλοιεν, οὐδὲν ὅμοιον, οὐδὲ ἐγγὺς, οἷοί τε ὄντες γράφειν, ἀλλόκοτα σκιογραφοῦσιν, ἀνδρείκελα σχήματα διαχαράττοντες.

[00023] Επιτρέπετα

[00024] Ἡμῖν δὲ ὅτι μὴ δίκαιον τὰ τοιαῦτα, πάντως που καὶ αὐτὴ συμβάλλεις.

[00025] Ἀλλ' εἰ μὴ τῆς εἰς Θεὸν μεταβληθείσης μορφῆς, ἀλλὰ τοῦ πρὸ τῆς μεταβολῆς σαρκίου αὐτοῦ δὴ τοῦ θνητοῦ τὴν εἰκόνα φὴς παρ' ἡμῶν αἰτεῖν, ἆρα γὰρ

τοῦτό σε μόνον διέλαθεν τὸ ἀνάγνωσμα, ἐν ᾧ ὁ Θεὸς νομοθετεῖ μὴ ποιεῖν ὁμοίωμα, μήτε τῶν ὅσα ἐν τῷ οὐρανῷ, μήτε τῶν ὅσα ἐν τῇ γῇ κάτω;

[00026] ἢ ἔστιν ὅτε ἐν Ἐκκλησίᾳ τὸ τοιοῦτον ἢ αὐτὴ, ἢ καὶ παρ' ἄλλου τοῦτο ἤκουσας;

[00027] Οὐχὶ δὲ καθ' ὅλης τῆς οἰκουμένης ἐξώρισται καὶ πόῤῥω τῶν Ἐκκλησιῶν πεφυγάδευται τὰ τοιαῦτα, μόνοις τε ἡμῖν μὴ ἐξεῖναι τὸ τοιοῦτον ποιεῖν παρὰ πᾶσι βεβόηται;

...

[00028] Οὐκ οἶδα γὰρ, ὅπως γύναιόν τι μετὰ χεῖράς ποτε δύο τινὰς φέρουσα καταγεγραμμένους, ὡς ἂν φιλοσόφους, ἀπέῤῥιψε λόγον, ὡς ἂν εἶεν Παύλου καὶ τοῦ Σωτῆρος·

[00029] οὐκ ἔχω λέγειν, οὔτε ὁπόθεν λαβοῦσα, οὔτε ὅθεν τοῦτο μαθοῦσα.

[00030] Ἵνα μὴ δὲ αὐτὴ, μηδὲ ἕτεροι σκανδαλίζοιντο, ἀφελόμενος ταύτην, παρ' ἐμαυτὸν κατεῖχον, οὐχ ἡγούμενος καλῶς ἔχειν εἰς ἑτέρους ὅλως ἐκφέρειν ταῦτα, ἵνα μὴ δοκῶμεν δίκην εἰδωλολατρούντων τὸν Θεὸν ἡμῶν ἐν εἰκόνι περιφέρειν.

[00031] Παύλου τε ἀκούω πάντας ἡμᾶς παιδεύοντος, μηκέτι τοῖς σαρκικοῖς προσανέχειν.

[00032] Εἰ γὰρ ἔγνωμεν, φησὶ, κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.

[00033] Σίμωνα τὸν Μάγον λόγος ἔχει παρὰ τοῖς ἀθέοις αἱρεσιώταις προσκυνεῖσθαι, ἐν ἀψύχῳ ὕλῃ καταγεγραμμένον.

[00034] Ἐθεωρήσαμεν δὲ καὶ αὐτοὶ τὸν τῆς μανίας ἐπώνυμον ὑπὸ τῶν Μανιχαίων εἰκόνι δορυφορούμενον.

[00035] Ἡμῖν δὲ ἀπείρηται τὰ τοιαῦτα.

[00036] Θεὸν γοῦν Κύριον τὸν Σωτῆρα ἡμῶν ὁμολογοῦντες, [20.1549] ὡς Θεὸν ἰδεῖν εὐτρεπιζόμεθα, πάσῃ σπουδῇ καθάραντες αὐτοὶ τὰς ἑαυτῶν καρδίας, ὡς ἂν ἴδοιμεν αὐτὸν κεκαθαρμένοι.

[00037] Μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

[00038] Εἰ δὲ ἐκ περιουσίας, πρὸ τῆς μελλούσης πρόσωπον εἰς πρόσωπον ὄψεώς τε καὶ θέας, τοῦ Σωτῆρος ἡμῶν τὰς εἰκόνας αὐτοὶ περὶ πολλοῦ τίθεσθε, τίνα μᾶλλον ἀγαθὸν ζωγράφον αὐτοῦ τοῦ Θεοῦ Λόγου ἔχοιμεν ἄν;

[00039] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0265-0339 - Eusebius Caesariensis - Epistula ad Constantiam Augustam**

**Litterarum Omnium Conspectus: 105 Litterae, quae repetitae sunt in 4,132 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 307 | Α | 0913 | 0 |
| β | 0946 | 23 | Β | 0914 | 0 |
| γ | 0947 | 58 | Γ | 0915 | 0 |
| δ | 0948 | 73 | Δ | 0916 | 0 |
| ε | 0949 | 231 | Ε | 0917 | 7 |
| ζ | 0950 | 11 | Ζ | 0918 | 0 |
| η | 0951 | 59 | Η | 0919 | 0 |
| θ | 0952 | 54 | Θ | 0920 | 14 |
| ι | 0953 | 175 | Ι | 0921 | 0 |
| κ | 0954 | 126 | Κ | 0922 | 3 |
| λ | 0955 | 91 | Λ | 0923 | 4 |
| μ | 0956 | 135 | Μ | 0924 | 3 |

| | | | | | |
|---|---|---|---|---|---|
| ν | 0957 | 328 | Ν | 0925 | 0 |
| ξ | 0958 | 12 | Ξ | 0926 | 0 |
| ο | 0959 | 326 | Ο | 0927 | 5 |
| π | 0960 | 114 | Π | 0928 | 10 |
| ρ | 0961 | 146 | Ρ | 0929 | 0 |
| ς | 0962 | 184 | • | 0930 | 0 |
| σ | 0963 | 105 | Σ | 0931 | 5 |
| τ | 0964 | 347 | Τ | 0932 | 2 |
| υ | 0965 | 58 | Υ | 0933 | 2 |
| φ | 0966 | 51 | Φ | 0934 | 0 |
| χ | 0967 | 23 | Χ | 0935 | 4 |
| ψ | 0968 | 9 | Ψ | 0936 | 0 |
| ω | 0969 | 48 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 5 | | | 0 |
| ῥ | 8165 | 5 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 36 | έ | 8051 | 43 | ή | 8053 | 16 | ί | 8055 | 51 | ό | 8057 | 59 | ύ | 8059 | 37 | ώ | 8061 | 12 |
| ὰ | 8048 | 34 | ὲ | 8050 | 18 | ὴ | 80852 | 39 | ὶ | 8054 | 53 | ὸ | 8056 | 46 | ὺ | 8058 | 7 | ὼ | 8060 | 2 |
| ᾶ | 8118 | 9 | | | 0 | ῆ | 8134 | 37 | ῖ | 8150 | 29 | | | 0 | ῦ | 8166 | 61 | ῶ | 8182 | 25 |
| ἀ | 7936 | 44 | ἐ | 7952 | 38 | ἠ | 7968 | 0 | ἰ | 7984 | 31 | ὀ | 8000 | 2 | ὐ | 8016 | 46 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 2 | ἑ | 7953 | 4 | ἡ | 7969 | 17 | ἱ | 7985 | 8 | ὁ | 8001 | 16 | ὑ | 8017 | 7 | ὡ | 8033 | 9 |
| ἂ | 7938 | 5 | ἒ | 7954 | 0 | ἢ | 7970 | 4 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 3 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 13 | ἤ | 7972 | 5 | ἴ | 7988 | 3 | ὄ | 8004 | 4 | ὔ | 8020 | 4 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 4 | ὅ | 8005 | 15 | ὕ | 8021 | 3 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 1 | | | 0 | ἦ | 7974 | 0 | ἶ | 7990 | 5 | | | 0 | ὖ | 8022 | 5 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 1 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 3 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 4 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 0 | | | 0 | ῇ | 8135 | 6 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 11 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0265-0339 - Eusebius Caesariensis - Epistula ad Constantiam Augustam**
**Verborum Omnium Conspectus: 465Verba, quae repetita sunt in 2,967,440 occasionibus**

---

**ἀγαθὸν** [00038]
**ἀδυνάτων** [00019]
**ἀθέοις** [00033]
**αἱ** [00016]
**αἵματι** [00009]
**αἱρεσιώταις** [00033]
**αἰτεῖν** [00025]
**αἰώνιοι** [00017]
**ἀκατονομάστοις** [00016]
**ἀκούω** [00031]
**ἀληθῆ** [00006]
**ἀλήπτου** [00020]
**Ἀλλ** [00025]
**ἀλλὰ** [00025] [00032]
**Ἀλλὰ** [00011] [00012]
**ἀλλόκοτα** [00022]
**ἄλλου** [00026]
**ἁμαρτίαν** [00008]
**ἁμαρτίας** [00008]
**ἀμετάλλακτον** [00006]
**ἀμφὶ** [00016]
**ἂν** [00015] [00022] [00028] [00028] [00036]
**ἄν** [00038]
**ἀνάγνωσμα** [00025]
**ἀναζωγραφήσειεν** [00021]
**ἀνακεχρᾶσθαι** [00012]
**ἀνάπαυσιν** [00016]
**ἀνδρείκελα** [00022]
**ἀνέβη** [00018]
**ἀνειδωλοποιοῦντες** [00022]
**ἀνείληφεν** [00007]
**ἀνεκδιήγητον** [00018]
**ἀνηυφήμουν** [00016]
**ἀνθρωπείαν** [00013]
**ἀνθρώποις** [00013]
**ἀνθρώπου** [00018]
**ἀνιόντα** [00016]
**ἄνοδον** [00013] [00016]
**ἀξίας** [00015]
**ἅπαξ** [00010]
**ἀπαστραπτούσας** [00015]
**ἀπεικάζειν** [00022]
**ἀπείρηται** [00035]
**ἀπέῤῥιψε** [00028]
**ἀπηλευθέρωσεν** [00009]
**ἀπήστραψεν** [00014]
**ἀπίστοις** [00021]
**ἀποδὺς** [00016]
**ἀποκαθισάμενον** [00016]
**ἀπονιψάμενος** [00016]
**ἀποστιλβούσας** [00015]
**Ἀπόστολος** [00008]
**ἆρα** [00025]
**Ἄρατε** [00017]
**ἀῤῥήτοις** [00016]
**ἄῤῥητον** [00018]
**ἄρχοντες** [00017]
**αὐτὴ** [00004] [00024] [00026] [00030]
**αὐτῇ** [00016]
**αὐτὴν** [00013]
**αὐτοὶ** [00034] [00036] [00037] [00038]
**αὐτοῖς** [00015]
**αὐτὸν** [00010] [00010] [00036]
**αὐτὸς** [00010]
**αὐτοῦ** [00006] [00010] [00014] [00016] [00018] [00025] [00038]
**αὑτοῦ** [00013]
**αὐτῷ** [00010] [00015] [00018]
**ἀφελόμενος** [00030]
**ἀφόρητον** [00015]
**ἀψύχοις** [00015]
**ἀψύχῳ** [00033]

**βασιλείας** [00013]
**βασιλεὺς** [00017]
**βασιλικῷ** [00016]
**βασίλισσαν** [00001]
**βεβόηται** [00027]
**βιοτεύων** [00013]
**βουλομένη** [00002]

**γὰρ** [00008] [00011] [00025] [00028] [00032] [00037]
**γᾶρ** [00022]
**γε** [00015] [00020]
**γέγραφας** [00002]
**γεννήσας** [00010]
**γῇ** [00025]
**γινομένη** [00018]
**γινώσκομεν** [00032]
**γνοίη** [00010]
**γοῦν** [00036]
**γράφειν** [00022]
**γραφεὺς** [00021]
**γράφων** [00021]
**γύναιόν** [00028]

**δ** [00016]
**δαιμονικῆς** [00009]
**δὲ** [00002] [00014] [00020] [00024] [00027] [00030] [00034] [00035] [00038]
**δεξιὰ** [00016]
**δεσπότου** [00016]
**δὴ** [00002] [00025]
**δι** [00007] [00011]
**διαγράψαι** [00004]
**διαχαράττοντες** [00022]
**διέλαθεν** [00025]
**δίκαιον** [00024]
**δίκην** [00030]
**δοκῶμεν** [00030]
**δόξαν** [00016]
**δόξῃ** [00012]
**δόξης** [00015] [00017]
**δορυφορούμενον** [00034]
**δουλείας** [00009]
**δούλου** [00007] [00008] [00011] [00013] [00016] [00018]
**δυνάμεις** [00016]
**δυνάμεως** [00016]
**Δύο** [00010]
**δύο** [00028]

**ἑαυτοῦ** [00013]
**ἑαυτῷ** [00021]
**ἑαυτῶν** [00036]
**ἐγγὺς** [00022]
**ἐγκρίτοις** [00013]
**ἔγνω** [00010]
**ἔγνωμεν** [00032]
**ἐθέλοιεν** [00022]
**Ἐθεωρήσαμεν** [00034]
**ἔθνεσιν** [00021]
**Εἰ** [00016] [00021] [00032] [00038]
**εἰ** [00010] [00010] [00013] [00025]
**εἴ** [00020]
**εἶδεν** [00018]
**εἶδος** [00016]
**εἰδωλολατρούντων** [00030]
**εἶεν** [00028]
**εἴη** [00015]
**εἰκόνα** [00002] [00003] [00004] [00005] [00020] [00025]
**εἰκόνας** [00038]
**εἰκόνι** [00030] [00034]
**εἰκόνος** [00002]
**εἰς** [00013] [00016] [00016] [00016] [00025] [00030] [00038]
**εἰσελεύσεται** [00017]
**ἐκ** [00038]
**ἐκείνην** [00013]
**Ἐκκλησίᾳ** [00026]
**Ἐκκλησιῶν** [00027]
**ἐκφέρειν** [00030]
**ἔλαχε** [00016]
**ἐμαυτὸν** [00030]
**ἐμβλέψαι** [00015]
**ἐν** [00008] [00013] [00016] [00016] [00016] [00018] [00025] [00025] [00025] [00026] [00030] [00033]
**ἔνθεον** [00020]
**ἐνοικούσης** [00016]
**ἐξεῖναι** [00027]
**ἐξόλων** [00018]
**ἐξώρισται** [00027]
**ἐοικότα** [00021] [00021]
**ἐπαξίως** [00010]
**ἐπάρθητε** [00017]
**Ἐπεὶ** [00002]
**ἔπεσον** [00015]
**ἐπὶ** [00013] [00015] [00018] [00018]
**ἐπιδέδεικται** [00013]
**ἐπιζητεῖς** [00005] [00011]
**ἐπιστολὴ** [00001]
**Επιτρέπετα** [00023] [00039]
**ἐπώνυμον** [00034]
**ἔστιν** [00026]
**ἕτεροι** [00030]
**ἑτέρους** [00030]
**ἔτι** [00013] [00020]
**Εὐσεβίου** [00001]
**εὐτρεπιζόμεθα** [00036]
**ἐφίκοιτο** [00019]
**ἔχει** [00033]
**ἔχειν** [00030]
**ἔχοιμεν** [00038]
**ἔχω** [00029]

**ζητεῖν** [00010]
**ζωγραφήσειεν** [00020]
**ζωγράφον** [00038]
**ζωῆς** [00012]

**ἡ** [00016] [00018]
**ἢ** [00007] [00026] [00026] [00026]
**ἤ** [00022] [00022] [00022]
**ᾗ** [00008]
**ἡγοῦμαί** [00010]
**ἡγούμενος** [00030]
**ἡγοῦνται** [00022]
**ἤκουσας** [00026]
**ἤκουσεν** [00018]
**ἥλιος** [00014]
**ἡμᾶς** [00007] [00009] [00011] [00031]
**ἡμῖν** [00027]
**Ἡμῖν** [00024] [00035]
**ἡμῶν** [00002] [00004] [00025] [00030] [00036] [00038]
**ἣν** [00003] [00007] [00016]
**ἡρώων** [00022]

**θανάτου** [00016]
**θαυμαστῆς** [00020]
**θαυμαστὸν** [00013]
**θέαν** [00013]
**θέας** [00038]
**θεῖος** [00008]
**Θεὸν** [00022] [00025] [00030] [00036] [00036] [00037]
**Θεὸς** [00008] [00013] [00025]
**θεότητος** [00012] [00016]
**Θεοῦ** [00008] [00010] [00016] [00038]
**θεσπέσιοι** [00015]
**Θεῷ** [00018]
**θεώμενον** [00015]
**θνητὸν** [00012]
**θνητότητα** [00016]
**θνητοῦ** [00025]
**θρόνῳ** [00016]

**ἰδεῖν** [00036]
**ἴδοιμεν** [00036]
**ἵδρυσιν** [00016]
**ἱμάτια** [00014]
**ἵνα** [00030]
**Ἵνα** [00030]

**καθ** [00027]
**καθάραντες** [00036]
**καθαροὶ** [00037]
**κἀκεῖνοι** [00022]
**καλεῖν** [00020]
**καλῶς** [00030]
**καρδίᾳ** [00037]
**καρδίαν** [00018]
**καρδίας** [00036]
**καταγεγραμμένον** [00033]
**καταγεγραμμένους** [00028]
**καταπεπόσθαι** [00012]
**καταχαράξαι** [00015]
**κατεῖχον** [00030]
**κατέκρινεν** [00008]
**κάτω** [00025]
**κεκαθαρμένοι** [00036]
**κόλποις** [00016]
**Κύριον** [00036]
**Κωνσταντίαν** [00001]

**λαβοῦσα** [00029]
**λαβὼν** [00008]
**λέγειν** [00016] [00029]
**λέγεις** [00003]
**λέγουσαι** [00016]
**λόγον** [00028]
**Λόγος** [00008] [00013]
**λόγος** [00033]
**Λόγου** [00038]
**Λόγῳ** [00018]
**λόγων** [00013]
**λυτρωσάμενος** [00009]

**Μάγον** [00033]
**μαθηταὶ** [00015]
**μαθοῦσα** [00029]
**Μακάριοι** [00037]
**μᾶλλον** [00038]
**μανίας** [00034]
**Μανιχαίων** [00034]
**μαρμαρυγὰς** [00015]
**μελλούσης** [00038]
**μεμαθήκαμεν** [00012]
**μὲν** [00010] [00014]
**μεταβαλὼν** [00013]
**μεταβέβληται** [00018]
**μεταβληθεῖσα** [00016]
**μεταβληθείσης** [00025]
**μεταβολῆς** [00025]
**μετεσκευάσατο** [00016]
**μηδαμῆ** [00021]
**μηδαμῶς** [00021]
**μηδὲ** [00015] [00030]
**μηδὲν** [00021]
**μηκέτι** [00031]
**μήτε** [00025] [00025]

**μόνοις** [00027]
**μόνον** [00025]
**μόνος** [00010]
**μορφὴ** [00016] [00018]
**μορφὴν** [00008] [00013] [00020]
**μορφῆς** [00007] [00010] [00011] [00016] [00020] [00025]
**μορφῶν** [00010]

**νεκροῖς** [00015]
**νίκην** [00016]
**νοερὰν** [00020]
**νομοθετεῖ** [00025]
**νῦν** [00032]

**ὁ** [00008] [00010] [00010] [00013] [00014] [00017] [00025]
**Ὁ** [00008]
**ὅθεν** [00029]
**οἱ** [00015] [00017] [00037]
**οἵ** [00015]
**οἶδα** [00004] [00028]
**οἰκουμένης** [00027]
**οἷοί** [00022]
**οἷός** [00015]
**ὅλη** [00018]
**ὅλης** [00027]
**ὅλως** [00030]
**ὅμοιον** [00022]
**ὁμοίωμα** [00025]
**ὁμοιώματι** [00008]
**ὁμοίως** [00021]
**ὁμολογήσαντες** [00015]
**ὁμολογοῦντες** [00036]
**ὄντες** [00022]
**ὅπερ** [00018]
**ὁπόθεν** [00029]
**ὁπότε** [00013] [00015]
**ὅπως** [00028]
**ὁρμηθεῖσα** [00004]
**ὄρους** [00013]
**ὅσα** [00025] [00025]
**ὅτε** [00014] [00016] [00026]
**ὅτι** [00010] [00024] [00037]
**οὔ** [00013]
**οὗ** [00011]
**οὐδ** [00010]
**οὐδὲ** [00010] [00022]
**οὐδὲν** [00022]
**Οὐκ** [00004] [00028]
**οὐκ** [00018] [00018] [00018] [00029]
**οὐκέτι** [00032]
**Οὐκοῦν** [00018]
**οὖν** [00010] [00015] [00016] [00019]
**οὐράνιαι** [00016]
**οὐρανοὺς** [00013] [00016]
**οὐρανῷ** [00025]
**οὓς** [00018]
**οὐσίαν** [00020]
**οὔτε** [00010] [00029] [00029]
**οὕτω** [00020]
**Οὕτως** [00009]
**οὐχ** [00030]
**Οὐχὶ** [00027]
**ὀφθαλμὸς** [00018]
**ὀφθέντι** [00015]
**ὄψεώς** [00038]
**ὄψονται** [00037]

**παιδευομένην** [00010]
**παιδεύοντος** [00031]
**παλαιᾶς** [00009]
**πάντας** [00031]
**πάντως** [00011] [00024]
**παρ** [00010] [00025] [00026] [00030]
**παρὰ** [00027] [00033]
**παρισταμένων** [00010]
**πάσῃ** [00036]
**πᾶσι** [00027]
**Πατέρα** [00010]
**Πατήρ** [00010]
**Πατρὸς** [00016] [00016]
**Παύλου** [00028] [00031]
**πεμφθῆναι** [00002]
**περὶ** [00010] [00038]
**περί** [00002]
**περιεβλήθη** [00011]
**περιθέμενος** [00007]
**περιουσίας** [00038]
**περιφέρειν** [00030]
**πέφηνεν** [00013]
**πεφυγάδευται** [00027]
**πικρίας** [00009]
**πλάττειν** [00022]
**πόθεν** [00004]
**Ποίαν** [00005]
**ποίαν** [00003]
**ποιεῖν** [00025] [00027]
**πολλοῦ** [00038]
**πόῤῥω** [00027]
**ποτέ** [00010]
**ποτε** [00022] [00028]
**Πότερον** [00006]
**που** [00013] [00013] [00024]
**πρέπον** [00018]
**πρὸ** [00025] [00038]
**προαῤῥαβωνιζόμενος** [00013]
**πρὸς** [00001] [00016]
**προσανέχειν** [00031]
**προσκυνεῖσθαι** [00033]
**προστάττεις** [00004]
**πρόσωπον** [00014] [00015] [00038] [00038]

**πύλαι** [00017]
**πύλας** [00017]
**Πῶς** [00019] [00020]

**σάρκα** [00032]
**σαρκὶ** [00016]
**σαρκικοῖς** [00031]
**σαρκίου** [00011] [00025]
**σαρκὸς** [00008]
**σε** [00010] [00025]
**Σίμωνα** [00033]
**σκανδαλίζοιντο** [00030]
**σκιογραφίαις** [00015]
**σκιογραφοῦσιν** [00022]
**σοι** [00002]
**σπουδῇ** [00036]
**συμβάλλεις** [00024]
**σχῆμα** [00007]
**σχήματα** [00022]
**Σωτῆρα** [00036]
**Σωτῆρος** [00004] [00028] [00038]

**τὰ** [00014] [00016] [00021] [00024] [00027] [00035]
**τὰς** [00015] [00036] [00038]
**ταῦτα** [00030]
**ταύτην** [00002] [00003] [00007] [00030]
**τε** [00015] [00015] [00022] [00027] [00031] [00038]
**τῇ** [00012] [00025] [00037]
**τὴν** [00001] [00006] [00008] [00013] [00013] [00013] [00013] [00016] [00016] [00016] [00016] [00016] [00016] [00016] [00020] [00025]
**τῆς** [00007] [00009] [00010] [00011] [00012] [00012] [00013] [00015] [00016] [00016] [00017] [00020] [00025] [00025] [00027] [00034] [00038]
**τί** [00013] [00016]
**τι** [00022] [00028]
**τίθεσθε** [00038]
**τιμίῳ** [00009]
**τίνα** [00003] [00038]
**τινα** [00022]
**τινὰς** [00028]
**τινος** [00002]
**Τίς** [00015]
**τις** [00010] [00010] [00019] [00020] [00021]
**τὸ** [00007] [00012] [00014] [00014] [00015] [00016] [00025] [00026] [00027]
**τοιαῦτα** [00024] [00027] [00035]
**Τοιοίδε** [00022]
**τοιούτοις** [00018]
**τοιοῦτόν** [00013]
**τοιοῦτον** [00026] [00027]
**τοιούτων** [00022]
**τοῖς** [00013] [00016] [00021] [00031] [00033]
**τὸν** [00010] [00015] [00030] [00033] [00034] [00036] [00037]
**τοσαύτης** [00015] [00016]
**τότε** [00016]
**τοῦ** [00002] [00003] [00004] [00005] [00007] [00008] [00010] [00011] [00013] [00013] [00016] [00016] [00016] [00016] [00016] [00018] [00025] [00025] [00028] [00038] [00038]
**τοὺς** [00006]
**τοῦτό** [00025]
**τοῦτο** [00012] [00026] [00029]
**τοῦτον** [00015]
**τρόπον** [00015]
**τῷ** [00009] [00016] [00018] [00025]
**τῶν** [00013] [00019] [00022] [00025] [00025] [00027] [00034]

**Υἱὸν** [00010]
**Υἱὸς** [00010]
**ὕλῃ** [00033]
**ὑμῶν** [00017]
**ὑπέμειναν** [00015]
**ὑπὲρ** [00013]
**ὑπὸ** [00012] [00034]
**ὑφ** [00002]

**φῂς** [00003] [00025]
**φαῖεν** [00022]
**φέρουσα** [00028]
**φέρουσαν** [00006]
**φησὶ** [00032]
**φησιν** [00008]
**φθορὰν** [00016]
**φιλοσόφους** [00028]
**φύσει** [00006]
**φύσιν** [00013]
**φῶς** [00014] [00018] [00018]

**χαρακτῆρας** [00006]
**χεῖράς** [00028]
**χρὴ** [00016] [00020]
**Χριστὸν** [00032]
**Χριστοῦ** [00002] [00003] [00005]
**χρώμασι** [00015]

**ᾧ** [00025]
**ὡς** [00002] [00014] [00014] [00022] [00022] [00028] [00028] [00036] [00036]
**ὥσπερ** [00021]